περὶ Συντάξεως τεθεῖσθαι ἠξίωσα, ὥσπερ ἀμέλει καὶ ὁ Θεόδωρος. τελειοτέρας γὰρ ταῦτα δεῖται τῆς θεωρίας, καὶ οὐ μὰ δία παιδικῆς, ἀλλὰ προβεβηκυίας καὶ καθεστηκυίας τῆς ἕξεως. Καὶ ὅσα δὲ κατὰ διάλεκτον παρέῤῥιπται ὑπὸ τοῦ Λασκάρεως ἔντισι τῶν συνῃρημένων Κλίσεων τοῦ Ὀνόματος, καὶ ταῦτα πολλὴν τὴν δυσχέρειαν ἔχοντα ἅμα καὶ ἀκυρίαν, ὡς πάντῃ ἄχρηστα ὄντα παρὰ τοῖς πεζογράφοις, ἀφεῖλον μὲν ἐντεῦθεν, περικαθάρας τὰς Κλίσεις· ἰδίᾳ δὲ κατὰ Διάλεκτον τὸ δεύτερον βιβλίον ποιήσας, πάντα ἐκεῖσε τὰ περὶ Κλίσεως καὶ Σχηματισμοῦ τῶν Διαλέκτων τέταχα φέρων· ὡς ἑτέρας τε καὶ ἰδιαιτέρας ὄντα θεωρίας καὶ ταῦτα. εἰ γάρ τοι καὶ μεταξὺ τοῦ πρώτου τέθειται, καὶ τοῦ τρίτου, ἀλλ᾽ ἡ τούτων διδασκαλία μετὰ τὸ τέταρτον οἰκεία τοῖς μαθητευομένοις. Ποιηταῖς γὰρ μάλιστα ἀνήκει ταῦτα, οὐ πεζογράφοις. ἀλλ᾽ ἐπειδή γε περὶ Κλίσεως καὶ Σχηματισμοῦ καὶ ἡ τῶν τοιῶνδε ἐστὶ θεωρία μετὰ τὸ πρῶτον τέθειται, ὡς εἰκὸς οἶμαι. Τὰ δ᾽ ἄλλα πάντα κατὰ τὸν Λάσκαριν μᾶλλον, ἢ τὸν Θεόδωρον τέθεικα ἐν τῷ πρώτῳ βιβλίῳ. σαφεστέρα γὰρ ἡ τοῦ Λασκάρεως ἔκθεσις, καὶ συνηθεστέρα τοῖς πλείστοις. Εἰς δύο δὲ μέρη τὸ πρῶτον τοῦτο διεῖλον βιβλίον, ὧν ἄμφω μὲν περὶ τῶν αὐτῶν, οὐχ ὡσαύτως δ᾽ ἑκάτερον, οὐ δέ γε πρὸς ὁμοίους ἀκροατάς. Περὶ Κλίσεως μὲν γὰρ, καὶ Σχηματισμοῦ τῶν τοῦ λόγου Μερῶν τὰ μέρη ἀμφότερα· ἀλλὰ τὸ μὲν τοὺς τύπους μόνον αὐτῶν ἁπλοϊκώτερον περιέχει, τὸ δὲ δεύτερον, τοὺς Κανόνας. καὶ Τὸ μὲν